Ὀψιπέδων: ὁ μέχρι πολλοῦ ἐν πέδαις γεγονώς· σύνηθες Μενάνδρωι τὸ ὄνομα.

*Ὄψιν: οὐ τὸ πρόσωπον, οὐδὲ τοὺς ὀφθαλμούς· ἀλλὰ τὴν πρόσοψιν λεκτέον.

Ὀψισθῆναι: τὸ ὀψὲ ἐλθεῖν λέγουσιν.

Ὄψ' ἦλθες· ἀλλ' εἰς τὸν Κολωνὸν ἴεσο:[1] παροιμία λέγεται ἐπὶ τῶν μισθαρνούντων.

Ὀψιγεννής: βραδέως γεννηθείς.

Ὄψις: ὅρασις.

Ὀψιτέλεστον: βραδέως τελειούμενον.

Ὄψον: πᾶν προσόψημα ἢ προσφάγιον.

Ὄψος: μοχθηρός.

Ὀψώνια: κέρδη· χαρίσματα.

Ὀψώνιον: τὴν ὀψωνίαν· τὸ δὲ παρ' ἡμῖν ὀψώνιον μισθὸν λέγουσι καὶ σιτηρέσιον.

Τέλος τοῦ ο̄ στοιχείου.

* Inc. f. 90. c. 4.

[1] ἴεσο